ἐπιβεβηκυῖα ἐπὶ φραγμὸν ἐν ἡμέραις πάγους· ὁ ἥλιος ἀνέτειλεν,
καὶ ἀφήλατο, καὶ οὐκ ἔγνω τὸν τόπον αὐτῆς· οὐαὶ αὐτοῖς. 18 ἐνύ- 18
σταξαν οἱ ποιμένες σου, βασιλεὺς Ἀσσύριος ἐκοίμισεν τοὺς δυνά-
στας σου· ἀπῆρεν ὁ λαός σου ἐπὶ τὰ ὄρη, καὶ οὐκ ἦν ὁ ἐκδεχό-
μενος. 19 οὐκ ἔστιν ἴασις τῇ συντριβῇ σου, ἐφλέγμανεν ἡ πληγή 19
σου· πάντες οἱ ἀκούοντες τὴν ἀγγελίαν σου κροτήσουσιν χεῖρας
ἐπὶ σέ· διότι ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ κακία σου διὰ παντός;

17 ημεραις AQW] -ρα BSLC | παγου AL | ουαι] + ουαι A† || 19 ακουοντες BS*W†] ακουσαντες rel. | χειρα A†

Subscr. ναουμ ζ′ BSA: cf. inscr.

## ΑΜΒΑΚΟΥΜ

1 Τὸ λῆμμα, ὃ εἶδεν Αμβακουμ ὁ προφήτης. 1
2 Ἕως τίνος, κύριε, κεκράξομαι καὶ οὐ μὴ εἰσακούσῃς; βοήσομαι 2
πρὸς σὲ ἀδικούμενος καὶ οὐ σώσεις; 3 ἵνα τί μοι ἔδειξας κόπους 3
καὶ πόνους, ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν; ἐξ ἐναντίας μου
γέγονεν κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. 4 διὰ τοῦτο διεσκέδασται νό- 4
μος, καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα, ὅτι ὁ ἀσεβὴς καταδυναστεύει
τὸν δίκαιον· ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρίμα διεστραμμένον.
5 ἴδετε, οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε καὶ θαυμάσατε θαυμάσια 5
καὶ ἀφανίσθητε, διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν,
ὃ οὐ μὴ πιστεύσητε ἐάν τις ἐκδιηγῆται. 6 διότι ἰδοὺ ἐγὼ ἐξεγείρω 6
ἐφ᾽ ὑμᾶς τοὺς Χαλδαίους τοὺς μαχητάς, τὸ ἔθνος τὸ πικρὸν καὶ
τὸ ταχινὸν τὸ πορευόμενον ἐπὶ τὰ πλάτη τῆς γῆς τοῦ κατακληρο-
νομῆσαι σκηνώματα οὐκ αὐτοῦ· 7 φοβερὸς καὶ ἐπιφανής ἐστιν, ἐξ 7
αὐτοῦ τὸ κρίμα αὐτοῦ ἔσται, καὶ τὸ λῆμμα αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύ-
σεται· 8 καὶ ἐξαλοῦνται ὑπὲρ παρδάλεις οἱ ἵπποι αὐτοῦ καὶ ὀξύτεροι 8
ὑπὲρ τοὺς λύκους τῆς Ἀραβίας· καὶ ἐξιππάσονται οἱ ἱππεῖς αὐτοῦ
καὶ ὁρμήσουσιν μακρόθεν καὶ πετασθήσονται ὡς ἀετὸς πρόθυμος
εἰς τὸ φαγεῖν. 9 συντέλεια εἰς ἀσεβεῖς ἥξει ἀνθεστηκότας προσ- 9
ώποις αὐτῶν ἐξ ἐναντίας καὶ συνάξει ὡς ἄμμον αἰχμαλωσίαν. 10 καὶ 10
αὐτὸς ἐν βασιλεῦσιν ἐντρυφήσει, καὶ τύραννοι παίγνια αὐτοῦ, καὶ
αὐτὸς εἰς πᾶν ὀχύρωμα ἐμπαίξεται καὶ βαλεῖ χῶμα καὶ κρατήσει
αὐτοῦ. 11 τότε μεταβαλεῖ τὸ πνεῦμα καὶ διελεύσεται καὶ ἐξιλάσεται· 11

Hab.: BSA. — de QWLC cf. Os.

Inscr. αμβακουμ η′ BSA: cf. Os. inscr.

1 2 κεκραξ.] κε > B*†: post κ̅ε̅ || 3 μοι εδειξας] tr. BSQC† | ταλαιπ.] pr. επι AL || 4 ο ασεβης AWL] ο > BSQ || 5 υμων] ημ. S*† | εκδιηγησηται S*Q(* -σεται)† | fin.] + υμιν ASc || 6 διοτι] οτι A† | εφ υμας AScWpau.] > rel. | τους μαχητας AQW] > BSLC | πικρον ... ταχινον] tr. AQ | το πλατος A || 9 εις] επ AQScL || 11 μεταβαλει] -βαλλ⟨ε⟩ι S*: cf. 17; μεταλαξει Wc†